τούτων δ' ἕκαστον πέρας τι. τὸ δ' ἄπειρον, οὐ ταὐτὸν ἐν μεγέθει καὶ κινήσει, καὶ χρόνῳ. ὡς μία τις φύσις· ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον· οἷον, κίνησις κατὰ τὸ μέγεθος, ἐφ' οὗ κινεῖται, ἢ ἀλλοιοῦται, ἢ αὔξεται· χρόνος δὲ, διὰ τὴν κίνησιν.

Κεφάλαιον ια.

Μεταβάλλει δὲ τὸ μεταβάλλον, τὸ μὲν κατὰ συμβεβηκὸς, ὡς τὸ μουσικὸν βαδίζειν· τὸ δὲ τῷ τούτου τι μεταβάλλειν, ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα κατὰ μέρη. ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμός. ἔστι δέ τι ὃ καθ' αὑτὸ πρῶτον κινεῖται· καὶ τοῦτ' ἐστὶ τὸ καθ' αὑτὸ κινητόν. ἔστι δέ τι καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως. κινεῖ γὰρ τὸ μὲν κατὰ συμβεβηκὸς, τὸ δὲ κατὰ μέρος, τὸ δὲ καθ' αὑτό. ἔστι δέ τι τὸ κινοῦν πρῶτον· ἔστι δέ τι τὸ κινούμενον· ἔτι ἐν ᾧ χρόνῳ, καὶ ἐξ οὗ, καὶ εἰς ὅ. τὰ δ' εἴδη καὶ τὰ πάθη, καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον, ἐπιστήμη, καὶ θερμότης. ἔστι δ' οὐχ ἡ θερμότης κίνησις, ἀλλ' ἡ θέρμανσις. ἡ δὲ μὴ κατὰ συμβεβηκὸς μεταβολὴ οὐκ ἐν ἅπασιν ὑπάρχει, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ μεταξὺ, καὶ ἐν ἀντιφάσει. τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. μεταβάλλει δὲ τὸ μεταβάλλον, ἢ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον. λέγω δὲ ὑποκείμενον, τὸ καταφάσει δηλούμενον. ὥστ' ἀνάγκη τρεῖς εἶναι μεταβολάς. ἡ γὰρ ἐξ οὐχ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, οὐκ ἔστι μεταβολή. οὔτε γὰρ ἐναντία, οὔτε ἀντίφασίς ἐστιν, ὅτι οὐκ ἀντίθεσις. ἡ μὲν οὖν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, κατ' ἀντίφασιν, γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς, ἁπλῆ, ἡ δὲ τὶς, τινός. ἡ δ' ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον φθορὰ, ἡ μὲν ἁπλῶς, ἁπλῆ, ἡ δὲ τὶς, τινός. εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν, τὸ τῷ ἁπλῶς ὄντι ἀντικείμενον· τὸ γὰρ μὴ λευκὸν ἢ μὴ ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός. εἴη γὰρ ἂν ἄνθρωπος τὸ μὴ λευκόν· τὸ δ' ἁπλῶς μὴ τόδε, οὐδαμῶς. ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι. εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν, κίνησιν εἶναι. γίγνεται γὰρ τὸ μὴ ὄν. εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίγνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν, ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ

A quorum vnumquodque terminus quidam eſt. Infinitum verò non idem in magnitudine, motu, & tempore, tanquam vna quædam natura, ſed ipſum poſterius ſecundum prius dicitur: velut motus, ſecundum magnitudinem, ſuper quam fit motus, aut alteratio, aut augmentatio: tempus verò propter motum.

CAPVT XI.

PErmutatur verò, quod permutatur, hoc quidem ſecundum accidens, veluti B cùm dicimus muſicum ambulare: illud verò, eo quòd eius quippiam mutetur, ſimpliciter dicitur mutari: vt quæ ſecundum partem dicuntur. Sanatur nanque corpus, quoniam oculus. Eſt præterea, quod per ſe primum mouetur, & hoc eſt per ſe mobile. Eſt item de mouēte quoque eodē modo. Mouet nanque quoddam per accidēs, quoddam ſecundum partem, quoddā per ſe. Eſt rurſus aliquid, quod primò mouet: C & eſt aliquid quod mouetur. Item tempus, in quo: ac præterea, ex quo: demum & ad quod. Species verò paſſionéſque, ac locus, ad quæ mouentur mota, ea immota ſunt: veluti ſcientia, & calor. Eſt verò motus, non caliditas, ſed calefactio. Mutatio autē non per accidens, haudquaquam in omnibus eſt, ſed in contrariis, ac mediis, atque etiam in contradictione. Cuius rei fides in inductione eſt. Mutatur autem, quod mu- D tatur, aut ex ſubiecto in ſubiectum, aut ex non ſubiecto in non ſubiectum, aut ex ſubiecto in non ſubiectum, aut ex nō ſubiecto in ſubiectum. Aio autem ſubiectum, quod affirmatione explanatur. Quare neceſſe eſt, tres mutationes eſſe. Illa enim, quæ ex nō ſubiecto in nō ſubiectū, nō eſt mutatio: nec enim cōtraria, neq. cōtradictio eſt, quia neq. oppoſitio. Mutatio igitur ex non ſubiecto in ſubiectum ſecundum E contradictionem, generatio eſt: quæ quidem ſimpliciter, ſimplex, quæ verò cuiuſdam, quædam: at quæ de ſubiecto in non ſubiectum, corruptio: quæ ſimpliciter, ſimplex, quæ cuiuſdam, quædam. Si itaque nō ens multifariam dicitur, & nec quod ſecūdum compoſitionem, aut diuiſionem dicitur, moueri contingit, nec item quod ſecundū potentiā, quod oppoſitū eſt ei quidem, quod ſimpliciter eſt (non album e- F nim aut non bonum, contingit nihilo minus ſecundum accidens moueri. Eſſe nanque homo poteſt, nō albū) quod verò ſimpliciter nō hoc, id nequaquā. Nā impoſſibile eſt, nō ens moueri. Si igitur hoc, & generationem motū eſſe: fit autē nō ens. Nā etſi maximè ſecundū accidēs fit, attamē verum eſt dicere de eo, quod ſimpliciter ſit;